δοκοῦν ἀλλ' ὡς πρὸς τὸν λόγον, ὁ δὲ κέχρηται οὐδὲν πρὸς τὸν λόγον.

30 Πρὸς δὲ τοὺς τὰ πλείω ἐρωτήματα ἓν ποιοῦντας εὐθὺς ἐν ἀρχῇ διοριστέον· ἐρώτησις γὰρ μία πρὸς ἣν μία ἀπόκρισίς ἐστιν, ὥστ' οὔτε πλείω καθ' ἑνὸς οὔτε ἓν κατὰ πολλῶν, ἀλλ' ἓν καθ' ἑνὸς φατέον ἢ ἀποφατέον. ὥσπερ δὲ ἐπὶ τῶν ὁμωνύμων ὁτὲ μὲν ἀμφοῖν ὁτὲ δ' οὐδετέρῳ ὑπάρχει, ὥστε 181b μὴ ἁπλοῦ ὄντος τοῦ ἐρωτήματος ἁπλῶς ἀποκρινομένοις οὐδὲν συμβαίνει πάσχειν, ὁμοίως καὶ ἐπὶ τούτων. ὅταν μὲν οὖν τὰ πλείω τῷ ἑνὶ ἢ τὸ ἓν τοῖς πολλοῖς ὑπάρχῃ, τῷ ἁπλῶς δόντι καὶ ἁμαρτόντι ταύτην τὴν ἁμαρτίαν οὐδὲν ὑπεναντίωμα συμβαίνει· ὅταν δὲ τῷ μὲν τῷ δὲ μή, ἢ πλείω κατὰ πλειόνων, καὶ ἔστιν ὡς ὑπάρχει ἀμφότερα ἀμφοτέροις, ἔστι δ' ὡς οὐχ ὑπάρχει πάλιν, ὥστε τοῦτ' εὐλαβητέον. οἷον ἐν τοῖσδε τοῖς λόγοις· εἰ τὸ μέν ἐστιν ἀγαθὸν τὸ δὲ κακόν, ὅτι ταῦτα ἀληθὲς εἰπεῖν ἀγαθὸν καὶ κακὸν καὶ πάλιν μήτ' ἀγαθὸν μήτε κακόν (οὐκ ἔστι γὰρ ἑκάτερον ἑκάτερον), ὥστε ταὐτὸ ἀγαθὸν καὶ κακὸν καὶ οὔτ' ἀγαθὸν οὔτε κακόν. καὶ εἰ ἕκαστον αὐτὸ αὑτῷ ταὐτὸ καὶ ἄλλου ἕτερον, ἐπειδὴ οὐκ ἄλλοις ταὐτὰ ἀλλ' αὑτοῖς καὶ ἕτερα αὑτῶν, τὰ αὐτὰ ἑαυτοῖς ἕτερα καὶ τὰ αὐτά. ἔτι εἰ τὸ μὲν ἀγαθὸν κακὸν γίνεται, τὸ δὲ κακὸν ἀγαθόν, δύο γένοιντ' ἄν· δυοῖν δὲ καὶ ἀνίσων ἑκάτερον αὐτὸ αὑτῷ ἴσον· ὥστε ἴσα καὶ ἄνισα αὐτὰ αὑτοῖς.

---

34 ᾧ D Bo (contra *Π*) ‖ χρῆται u (contra M^c^) 37 ἣν om. u 38 ἐστιν om. u tr. 39 δὴ *Π* γὰρ M^c^ ‖ ante ἐπὶ add. καὶ C*Π* (contra M^c^) **181b** 2 ante μὴ add. τοῖς u ‖ ἁπλοῦν ἐρώτημα u 3 ante καὶ add. δὲ D 4 οὖν] ἢ fort. recte u ‖ post ὑπάρχῃ add. ἢ μὴ ὑπάρχῃ u Bo (om. M^c^) 5 ἁμαρτάνοντι AC 6 μὲν] μὲν ἢ D M^c^ Bo tr., sed ἢ post ¹δὲ M¹ 7 post ὑπάρχει add., quod vs. 8 om., πάλιν C 10 τοῦτ' u ταὐτὰ Poste 11. 12 ἑκατέρῳ ἑκάτερον u inv. ord. Bo 13 εἰ om. u ‖ ἄλλοις Bo 14 ἐπειδὴ Poste ἐπεὶ δ' libri Str. 15 τὸ μὲν ἀγαθὸν γίνεται, τὸ δὲ κακόν, δύο γένοιτ' ἂν ⟨ἀγαθὼ ἢ δύο κακώ⟩ ci. Poste 16 ante γίν. add. οὐ *Π* ‖ post ἀ. add. ἐστιν ABCD*Π* om. u Bo ‖ γένοιντ' BCD M^c^ γένοιτ' A u Str. τὸ ἓν γένοιτ' *Π* ‖ δυεῖν C 17 δὲ Wl. τε libri M¹ ‖ ἀνίσοιν M¹



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id408701080/265 UNIVERSITÄT LEIPZIG